ἐλθὼν, λέγει τῷ κυρίῳ αὐτοῦ, ὃ κελεύεις, δέσποτα, λού-
θητι. ἕνα ἄνθρωπον εἶδον ἐν τῷ βαλανείῳ. καὶ ὁ ξάν-
θος φησὶ, καλόν ἐστι τὸ εὐρύχωρον λούσασθαι. ἆρον
τὰ πρὸς τὴν χρείαν. εἰσελθὼν οὖν ὁ ξάνθος καὶ ἰδὼν
τὸ πλῆθος τῶν λουομένων, λέγει, αἴσωπε, τί τοῦτο, οὐκ
εἶπας μοι ἕνα μόνον ἄνθρωπον εἶδες; ὁ δὲ, καὶ μά-
λα φησί. εἶδον γὰρ τὸν λίθον τοῦτον πρὸ τῆς εἰσόδου κεί-
μενον, πρὸς ὃν οἱ εἰσιόντες προσέκοπτον. εἷς δὲ μετὰ προσ-
κόπτας ἄρας μετέθηκε πρὸς τὸ μηδένα προσκόπτειν.
ἐκεῖνον οὖν προκρίνας τῶν ἄλλων, ἐδήλωσά σοι τὴν ἀλή-
θειαν. ξάνθος λέγει, οὐδὲν παρὰ τῷ αἰσώπῳ ἀργὸν πρὸς
ἀπολογίαν. λουσάμενος δὲ παρεγένετο ἐπὶ τὸ ἄριστον.
καὶ μετὰ τὸ ἀριστῆσαι τῆς γαστρὸς νυξάσης, ἐξῆλθε
πρὸς ὑποχώρησιν. τοῦ δὲ αἰσώπου παρεστῶτος ξέ-
στου μεστοῦ ὕδατος ἐπιφερόμενος, λέγει ὁ ξάνθος, αἴ-